UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXIV. Ut post Marcum primus Alexandrinorum Episcopus ordinatus est Annianus.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

& qui sectam Sadducæorum sequebatur, quos quidem præ ceteris Judæis in judiciis exercendis immites esse suprà retulimus, opportunum sibi tempus adesse ratus, eo quod Festus quidem obiisset, Albinus verò adhuc iter faceret, concilium judicum cogit. Inductoque in judicium Jacobo fratre Jesu ejus qui dicitur Christus, & cum eo quibusdam aliis, crimen illis violatæ legis impegit, statimque lapidandos tradidit. Sed quicunque inter cives modestissimi legisque observandæ studiosissimi habebantur, graviter id factum tulere. Itaque clàm legatos ad Regem mittunt, hortantes ut Ananum per literas moneret vellet ne deinceps talia gereret: neque enim prius illud rectè atque ex jure ab eo factum fuisse. Quinetiam nonnulli eorum Albino ab urbe Alexandria iter facienti occurrerunt, eumque monuerunt non licuisse Anano absque ipsius consensu concilium judicum convocare. Quibus auditis, Albinus literas plenas furoris & iracundiæ ad Ananum scribit, minatus se de illo pœnas sumpturum. Proindè Rex Agrippa adempto ei Pontificatu quem per tres menses gesserat, Jesum Damnæi filium Pontificem constituit. Hæc sunt quæ de Jacobo memorantur, cui etiam adscribi solet epistola prima earum quæ Catholicæ dicuntur. Quam quidem nonnulli spuriam ac suppositiciam existimant. Sane pauci admodum ex vetustioribus, tum hujus epistolæ tum illius Judæ quæ & ipsa in septem Catholicarum numero recensetur, mentionem fecere. Verumtamen has quoque cum ceteris in plurimis ecclesiis publicè lectitari cognovimus.

A ὃν τὴν ἀρχιερωσύνην εἴπομεν παρειληφέναι,
θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφερόντως. αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν. καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ Χριστοῦ λεγομένου (Ἰάκωβος ὄνομα αὐτῷ) καί τινας ἑτέρους. ὡς παρανο-
B μησάντων κατηγορίαν ποιησάμενος, παρέδωκε λευσθησομένους. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ τὰ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ. καὶ πέμπουσι πρὸς τὸν βασιλέα κρύφα, παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν. μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. τινὲς δὲ αὐτῶν καὶ τὸν Ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς αὐτοῦ γνώμης καθίσαι συνέδριον.
C Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις, γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ, λήψεσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς δὲ Ἀγρίππας διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτοῦ ἄρξαντος μῆνας τρεῖς, Ἰησοῦν τὸν τοῦ Δαμμαίου κατέστησεν. τοιαῦτα καὶ τὰ κατὰ τὸν Ἰάκωβον, οὗ ἡ πρώτη τῶν ὀνομαζομένων Καθολικῶν ἐπιστολῶν εἶναι λέγεται. ἰστέον δὲ ὡς νοθεύεται μέν· οὐ πολλοὶ γοῦν τῶν παλαιῶν αὐτῆς ἐμνημόνευσαν, ὡς οὐδὲ τῆς λεγομένης Ἰούδα, μιᾶς καὶ αὐτῆς οὔσης τῶν ἑπτὰ λεγομένων Καθολι-
D κῶν. ὅμως δὲ ἴσμεν καὶ ταύτας μετὰ τῶν λοιπῶν ἐν πλείσταις δεδημοσιευμένας ἐκκλησίαις.

## CAPUT XXIV.

*Vt post Marcum primus Alexandrinorum Episcopus ordinatus est Annianus.*

Huc refer Niceph. c.15. l.2.

INtereà Nerone octavum imperii annum agente, primus post Marcum Evangelistam Alexandrinæ Ecclesiæ administrationem suscepit Annianus, vir Deo acceptus & omni ex parte mirabilis.

## ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Ὡς μετὰ Μάρκον πρῶτος Ἐπίσκοπος τῆς Ἀλεξανδρέων ἐκκλησίας Ἀννιανὸς κατέστη.

ΝΕρων δὲ ὄγδοον ἄγοντος τῆς βασιλείας ἔτος, πρῶτος μετὰ Μάρκον τὸν Ἀπόστολον καὶ Εὐαγγελιστὴν, τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας, Ἀννιανὸς τὴν λειτουργίαν διαδέχεται. ἀνὴρ θεοφιλὴς ὢν καὶ τὰ πάντα θαυμάσιος.